UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Cyrillo Alexandrino. 323.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

φέρε τοίνυν τὸν ἀλόγιστον γενναίως. ἐπειδὴ ἡδέως ἀνέχῃ τῶν ἀφρόνων φρόνιμος ὢν ἐν κυρίῳ.

Κυρίλλῳ ἀρχιεπισκόπῳ. τκγ.

Πολλαὶ μὲν μαρτυρίαι γραφικαὶ, πολλαὶ δὲ θεωρίαι πρακτικαὶ. τὸν ἀληθῆ τῆς τοῦ κυρίου σαρκώσεως λόγον τρανοῦσιν ἀσφαλῶς, εἰ καὶ τῆς ἡμετέρας διανοίας καὶ γλώσσης ἀνώτερόν ἐστι τὸ μυστήριον. ὅτι δὲ ὁ ἀληθινὸς καὶ ἐπὶ πάντων θεὸς, ἄνθρωπος γέγονεν ἀληθῶς, οὔτε ὃ ἦν τραπεὶς, καὶ ὃ οὐκ ἦν προσλαβὼν, ἐκ φύσεων δυοῖν, ὁ εἷς ὑπάρχων υἱὸς, ἄναρχος καὶ ἀπέραντος, πρόσφατος καὶ ἀΐδιος, οὐδ᾽ ἂν αὐτὸς ἀρνηθείης, πλείστας ἔχων τοῦ ἁγίου πατρὸς ἡμῶν μεγάλου Ἀθανασίου περὶ τούτων συναινέσεις, ἀνθρώπου τὰ θεῖα ὑπερφυῶς ἐμβατεύσαντος.

ἐν φύσεσι δυσί.

Τῷ αὐτῷ. τκδ.

Χρή σε, θαυμάσιε, ἄτρεπτον μένειν ἀεὶ, οὔτε φόβῳ προδιδόντα τὰ οὐράνια, οὔτε σαυτῷ ἐναντίον φαινόμενον. εἰ γὰρ τὰ νῦν γεγραμμένα σοι τοῖς προτέροις ἀντεξετάσειας, ἢ κολακείας φανήσῃ ὑπεύθυνος, εὐχερείας ἢ διάκονος, κενῆς μὲν δόξης ἡττώμενος, τῶν μεγάλων δὲ ἁγίων ἀθλητῶν τοὺς ἀγῶνας οὐ μιμησάμενος, οἳ τὸν ἅπαντα βίον ἐπ᾽ ἀλλοτρίας κακουχεῖσθαι ὑπέμειναν, ἢ κακόδοξον φρόνημα, κἂν μέχρις ὤτων εἰσδέξασθαι.

Κύρῳ νέῳ Μοναχῷ. τκε.

Νόμος φιλοσοφίας ἀσφαλοῦς, ὅρος ἁγνείας ἀκριβοῦς, τῷ θεοφόρῳ Παύλῳ διώρισται, νεκρῶσαι πάντα τὰ μέλη, τὰ ἐπὶ τῆς γῆς. εἰ τοίνυν ἕπεσθαι βούλει τοῖς δόγμασιν αὐτοῦ, εἴη δὲ πάντως, εἰ τὸ ἀσκεῖν θέλεις, χαλίνωσον τῆς γλώσσης τὸ ταχύ. τὸ μεῖζον

obrem fer animo forti stultum atque inconsideratum hominem: quandoquidem libenter sustines insipientes, tu qui sapiens es in Domino.

*Cyrillo Alexandrino.* 323.

Cùm multa scripturæ testimonia, tum multæ cum actione coniunctæ contemplationes, veram Dominicæ incarnationis doctrinam certissimè nobis declarant: etiamsi mentis ac linguæ nostræ vim & facultatem hoc mysterium excedat. Quod autem verus ac rerum omniũ summus Deus, homo verè fact⁹ sit, nec ab eo, quod erat, demigrans, & quod non erat, assumẽs, ex duabus naturis vnus Filius existẽs, ortus ac finis expers, recens & sempiternus, ne ipse quidem inficias ieris, vt qui plurimas de his rebus sancti Patris nostri magni Athanasij comprobationes habeas, hoc est eius viri, qui ad diuinarum rerum intimos sinus eximiè penetrauit.

*Eidem.* 324.

Te oportet, vir admirande, firmum atque constantem semper manere: sic nempè vt nec metu cælestes res prodas, nec tecum ipse pugnare videaris. Nam si ea, quæ nunc abs te scripta sunt, cum superioribus perpendas, aut adulationi obnoxius esse videberis, aut leuitatis minister: vt qui inani gloriæ succumbas, non autem magnorum ac sanctorum pugilum certamina imiteris, qui per omnem vitæ suæ cursum in extera regione premi ac vexari potiùs sibi ferendum duxerunt, quàm vt peruersam ac falsam sententiam vel auribus tenus exciperent.

*Cyro Monacho.* 325.

Tutæ philosophiæ lex, ac certæ & exactæ puritatis regula hæc nobis à diuino viro Paulo præscripta est, vt mortificemus membra nostra, quæ sunt super terram. Quamobrem si ipsius placita sequi studes, omninò autem sequeris, si Monasticam vitam colere cupis, linguæ celeritatẽ fræno